# ΚΙΘΑΡΙϹΤΗϹ

. . . . . .

[A.] ζηλοῖϲ, λαβών τε τὴ[ν.....ἐλ]ήλυθα[ϲ
θυγατέρα δεῦρο πλουϲίαν θ' [ἡγῆι μόνην
ταύτην, ϲεαυτὸν δ' οὐχί;
(B.) πάντ' ἐγὼ [μ]όνηϲ
ταύτηϲ λογίζομαί τ' ἐμαυτοῦ τὴν ἐμήν.
ἐλευθέρα τ' ἦν καὶ πόλεωϲ Ἑλληνίδοϲ,
καὶ πάντα ταῦτ' ἐκτηϲάμην ἀγαθῆι τύχηι.
οὐ δεῖ λαβεῖν με πορνο[βοϲκοῦ] θ...[
⟨A.⟩ τί δὴ τὸ λυποῦν ϲ' ἐϲτιν .[...οὐ]κ ἤγαγεϲ
ἐνταῦθα τὴν γυναῖκα κα[.........]ν;
⟨B.⟩ οὐκ οἶδ' ὅπου γῆϲ ἐϲτιν.
⟨A.⟩ οὐκ ἐλήλυθεν;
⟨B.⟩ οὔπω γε, νυνὶ τῶν χρόνων ὄντων μακρῶν.
λογίζομαι πᾶν, μή τι κατὰ θάλατταν ἦι